This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

B 1,361,481


LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN

888
S5a
B65
Q8

Sophocles

SOPHOCLIS AJAX.

DENUO RECENSUIT

BREVIQUE ANNOTATIONE CRITICA

INSTRUXIT

FREDERICUS H. M. BLAYDES, M.A. OXON.

HON. LL.D. DUBLIN. PHIL. D. BUDAPEST. SODALIS SOC. LITT. ATHEN. ETC.

AEDIS CHRISTI IN UNIVERSITATE OXONIENSI QUONDAM ALUMNUS.

HALIS SAXONUM,

IN ORPHANOTROPHEI LIBRARIA.

MDCCCCVIII.

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΙΑΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.
ΤΕΚΜΗΣΣΑ.
ΚΑΥΤΑΙΜΝΗΣΤΡΑ.
ΑΓΓΕΛΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

ΚΩΦΑ ΠΡΟΣΩΠΑ.

ΕΥΡΥΣΑΚΗΣ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΣΤΡΑΤΟΚΗΡΥΞ.

ΥΠΟΘΕΣΙΣ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ καὶ ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ καὶ ΜΕΜΝΩΝ. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας, τῆς κρίσεως μὴ τυχών, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ ΜΑΣΤΙΓΟΦΟΡΟΣ, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟΚΡΟΥ. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται.

Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τῷ μαστιγοῦν τὸν Ὀδυσσέα. παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι ὁ Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ[1]) σφαγέντα ποίμνια, ἀπολοφύρονται· καὶ μάλιστα ὁ χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν ἔμφρων γενόμενος ἑαυτὸν ἀπολοφύρεται. καὶ τούτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δὲ ὑποκρινόμενος πε-

1) τὰ —] Lege ἐστι τὰ —.

παῦσθαι ἔξεισι καθαρσίων ἕνεκα καὶ ἑαυτὸν διαχρῆται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἤκουεν ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων καὶ ἀποτυχὼν ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι οὐκ εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ περιπαθῶς· (Ὀδ. λ. 542.)

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547.)

ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς Αἴαντος δράσαντος. θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι, καὶ Ἀθηνᾶς προκηδομένης τοῦ Ὀδυσσέως, διό φησι·

καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν, οἱ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν, σιδήρῳ γὰρ οὐκ ἦν τρωτός, καὶ οὕτω τελευτᾷ, οἱ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε.

ΑΘΗΝΑ.

Ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ἀνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης.
ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἢν ἄποπτος ᾖς ὅμως,
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενὶ
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ', Αἴαντι τῷ σακεσφόρῳ·
κεῖνον γὰρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.

8. *ὥς τις* mss. Qu. *ὥσπερ*. Cf. Tr. 116. *τὸν Καδμογενῆ τρέφει ὥσπερ πέλαγος Κρήσιον.* *εὔρινος*] Genitivus nominis *εὖρις*, ut monet schol. Nominativum parum probabiliter habent plerique. Multo melius ipsi cani quam gressui ejus convenit hoc epithetum. Cf. Aesch. Ag. 1093. *ἔοικεν εὖρις ἢ γυνὴ κυνὸς δίκην | εἶναι.* Xen. Venat. *εὔρινες κύνες.* Plat. Parm. 128 C. *καίτοι ὥσπερ γε αἱ Λάκαιναι σκύλακες εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα.*

9. *ἔνδον — τυγχάνει*] Sub. *ὤν*. Cf. El. 313. *νῦν ἀγροῖσι τυγχάνει.* 46. 1457. Plerumque participium additur.

νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα·
κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε κἀδήλωσεν· εὐθέως δ' ἐγὼ
κατ' ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ' ἐκπέπληγμαι κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος
τά τ' εἰσέπειτα σῇ κυβερνῶμαι χερί.

ΑΘ. ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυναγίᾳ.

ΟΔ. ἦ καὶ, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;

ΑΘ. ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.

ΟΔ. καὶ πρὸς τί δυσλόγιστον ὧδ' ἦξεν χέρα;

ΑΘ. χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.

ΟΔ. τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;

ΑΘ. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.

ΟΔ. ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;

28. *νέμει* plerique mss. *τρέπει* L. Qu. *τήνδ' οὖν ἐς αὐτὸν πᾶς τις αἰτίαν τρέπει.*

34. *καιρὸν*] Opportune. Accusativus adverbialiter usurpatus ut *ἀρχὴν, δίκην, τέλος*, al. secundum Pal. Cf. 1316. *καιρὸν ἴσθ' ἐληλυθώς*. Eur. Hel. 479. *καιρὸν γὰρ οὐδέν' ἦλθες*. Nisi utrobique reponendum, ut probabile videtur, *καιρῷ* (*καιρωι, καιροι*). Qu. *καιρῷ δ' ἐφήκεις*, aut *καίριος ἐφήκεις* (coll. O. R. 631. *καίριαν — στείχουσαν*), aut *ἐς καιρὸν ἥκεις*. Non enim liquet quomodo defendi queat accusativus sic absolute positus.

39. *ὡς*] Anglice be assured that.

40. *ἦξεν χέρα*] De constructione *ἄσσειν τι* v. Porson. ad Orest. 1427. Sic *κόμη ἄσσεσθαι* dicitur O. C. 1261.

42. Cf. Tr. 339. *τοῦ με τήνδ' ἐφίστασαι βάσιν.*

ΑΘ. κἂν ἐξέπραξέ γ', εἰ κατημέλησ' ἐγώ.
ΟΔ. ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘ. νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. ἦ καὶ παρέστη κἀπὶ τέρμ' ἀφίκετο;
ΑΘ. καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔ. καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. ἐγώ σφ' ἀπείργω, † δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆσδ' ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ' ἐσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων, κἀδόκει μὲν ἔσθ' ὅτε

45. *κἂν ἐξεπράξατ'* (γρ. *ἐξέπραξεν* m. rec.) L. *κἂν ἐξέπραξέ γ'* Bl. *κατημέλησ'* mss. Qu. *παρημέλησ'*.

46. *ποίαισι τόλμαις ταῖσδε*] Cf. Tr. 582. *κακὰς — τόλμας*. Qu. *ποίᾳ δὲ τόλμῃ τῇδε*.

48. *παρέστη*] Schol. *ἐπλησίασεν ἡμῖν*.

49. *καὶ δὴ*] Jam. Anglice already. Idem fere quod *ἤδη*.

50. Construe *ἐπέσχε φόνου*. Cf. Eur. Herc. 1005. *ὅς νιν φόνου | μαργῶντ' ἐπέσχε*. Andr. 160. *ὧν ἐπισχήσω σ' ἐγώ*. Qu. *ἐγώ σφ' ἄπειρξ' ἐπ' ὄμμασιν διαστρόφοις* (447.) | *κνέφας βαλοῦσα. χεῖρα μαιμῶσαν*] Qu. *χεῖρα μαργῶσαν*. Cf. Eur. Herc. 1005. Hec. 1128. *μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα*.

51. *δυσφόρους — γνώμας*] 'Graves, mentem alienantes' explicat Dind. Anglice overpowering fancies (imaginations). Quid hoc sibi velit fateor me non intelligere. Aliud quid caliginem visum obscurantem significans requiri videtur. Quomodo enim oculis obtendi queant *γνῶμαι* equidem non video. Melius intelligerem *δύσφορον πρὸς ὄμμασι* (aut *κατ' ὀμμάτων*) | *κνέφας βαλοῦσα*, aut *παραφόρους — γνώμας* (ut exponit schol.), aut *ἐγώ σφ' ἀπεῖρξ' ἐπ' ὄμμασιν διαστρόφοις* | *κνέφας βαλοῦσα*. Cf. 70. *ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους* (*διαστρόφους*?) | *αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν*. Eur. Ph. 1534. *ἀέριον σκότον ὄμμασι σοῖσι βαλών. Δύσφορον ἄταν* Ajacis infortunium dicit Chorus v. 643.

52. *γνώμας*] Qu. *κνέφας*, aut *νεφέλας*. Cf. 447. *κεἰ μὴ τόδ'* (*τό τ'*?) *ὄμμα καὶ* (*χαΐ*?) *φρένες διάστροφοι | γνώμης ἀπῆξαν* (*μ' ἀπεῖρξαν*?) *τῆς ἐμῆς, οὐκ ἄν ποτε —. τῆς* mss. Lege *τῆσδ'*.

55. *εἰσπεσὼν* mss. *ἐσπεσὼν* Dind.

διοσσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἄγων,
ὅτε δ' ἄλλοτ' ἄλλον ἐμπίτνων στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἔρκη κακά.
κἄπειτ', ἐπειδὴ τοῦδ' ἐλώφησεν πόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας ἐς δόμους κομίζεται
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν, ἄγων.
καὶ νῦν κατ' οἴκους συνδέτους σφ' αἰκίζεται.
δείξω δέ τοί σοι τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν ϑροῇς.
ϑαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου.
τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευϑύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.

ΟΔ. τί δρᾷς, Ἀϑάνα; μηδαμῶς σφ' ἔξω κάλει.

ΑΘ. οὐ σῖγ' ανέξει μηδὲ δειλίαν ἀρεῖ;

ΟΔ. μὴ πρὸς ϑεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.

ΑΘ. τί μὴ γένηται; πρόσϑεν οὐκ ἀνὴρ ὅδ' ἦν;

57. ἔχων (γρ. παρὼν ab S.) L. ἑλὼν Morstadt. Dedi ἄγων.

58. ὅτ' (δ sup. a m. rec.) ἄλλοτ' L. ὅτε δ' ἄλλοτ' Bl. Qu. εἶτ' (deinde) ἄλλοτ' ἄλλον —. ἐμπίπτων (τνῶν sup. a m. rec.) L. ἐμπιτνῶν cet. ἐμπίτνων Elmsl.

61. πόνου plerique mss. φόνου L. 63. εἰς mss. ἐς Br.

64. ἔχων mss. ἄγων F. W. Schmidt coll. 234. 296. Ph. 608.

65. συνδέτους — mss. Correxi συνδέτους σφ' —.

66. δείξω δὲ καὶ σοὶ mss. Eadem verba sunt O. R. 1294. Arist. Eccl. 933. δείξει γε (δὲ?) καὶ σοί (δέ τοί σοι?). Qu. δείξω δέ τοί σοι aut δείξω δ' ἐγώ σοι (ut in Eur. Andr. 707.).

69. ἀποστρόφους mss. Nonne διαστρόφους? Cf. Tr. 794. διάστροφον | ὀφθαλμὸν ἄρας. 74. ἔξω] σφ' ἔξω al. Recte.

75. δειλίαν] Angl. the charge of cowardice. ἄρῃς (εἶς sup. a m. rec.) L. ἄρῃς aut ἀρεῖς cet. ἀρεῖ recte Schneid. Cf. El. 33. O. R. 1225. O. C. 460. Apud Homerum κῦδος ἀρέσϑαι et similia.

76. ἀρκείτω μένων] Fort. ἀρκέσει μένων. Cf. Ant. 547. ἀρκέσω ϑνήσκουσ' ἐγώ. Idem conj. Nauck.

ΟΔ. ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.
ΑΘ. οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;
ΟΔ. ἐμοὶ μὲν ἀρκεῖ τόνδ' ἔσω δόμων μένειν.
ΑΘ. μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν.
ΟΔ. φρονοῦντά γ' ἄν νιν οὐκ ἂν ἐξέστην ὅκνῳ.
ΑΘ. ἀλλ' οὐ τὰ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
ΟΔ. πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘ. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔ. γένοιτο μέντἂν πᾶν θεοῦ τεχνωμένου.
ΑΘ. σίγα νυν ἑστὼς καὶ μέν' ὡς κυρεῖς ἔχων.
ΟΔ. μένοιμ' ἄν· ἦθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘ. ὦ οὗτος, Αἴας, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπει τῆς συμμάχου;

ΑΙΑΣ.

ὦ χαῖρ' Ἀθάνα, χαῖρε, Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρίσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘ. καλῶς ἔλεξας. ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙ. κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μὴ οὔ.
ΑΘ. ἦ καὶ πρὸς Ἀτρείδαισιν ἥμαξας χέρα;
ΑΙ. ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.

79. *οὐκοῦν* (sic) L.

80. *ἐς δόμους* (*ἐν* et *οις* sup. a m. rec.) L. Tricl. *ἐν δόμοις* al. Dind. *τόνδ' ἔσω δόμων* malit Nauck. Cf. ad Ant. 1241.

82. *νιν — ἐξέστην*] Cf. Dem. p. 460, 1. *οὐδένα πώποτε κίνδυνον ἐξέστησαν.* p. 617, 15. etc.

96. *οὐκ ἀπαρνοῦμαι τὸ μή* mss. *οὐκ — τὸ μὴ οὐ* conj. Nauck. Recte. Cf. Ph. 348. *οὐ πολὺν | χρόνον μ' ἐπέσχον μή* (l. *μὴ οὔ*) *με ναυστολεῖν ταχύ.* [Dem.] Or. 57. § 59. *οὐκ ἂν ἐξομόσαιτο μὴ οὐκ εἰδέναι.* Sed Ant. 535. *ἐξομεῖ τὸ μὴ εἰδέναι.* et ad Ant. 443.

97. *ἤχμασας* mss. Dind. Schol. *σὺν αἰχμῇ ἐκίνησας.* Cf. Tr. 355. *αἰχμάσας τάδε. ἥμαξας* Musgr. Wund. Bl. Cf. 453. *ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς.* 219. *χειροδάϊκτα σφάγι' αἱμοβαφῆ.* Hom. Il. 4, 324. *αἰχμὰς δ' αἰχμάσσουσι* (*αἱμάξουσι*?) *νεώτεροι.* Alioqui *πρὸς Ἀτρείδας* (in Atridas) ponendum fuisset. *χέρα*] *χέραι* L. Qu. *χέρας*, ut in 453. *χεῖρας αἱμάξαι.*

98. *ὥστ'* mss. *ὡς* Elmsl. Sic *ὡς* in *ὥστ'* corruptum O. C. 45.

ΑΘ. τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙ. θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
ΑΘ. εἶεν· τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου;
ποῦ σοι τύχης ἔστηκεν; ἦ πέφευγέ σε;
ΑΙ. ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
ΑΘ. ἔγωγ'· Ὀδυσσέα τὸν σον ἐνστάτην λέγω.
ΑΙ. ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘ. πρὶν ἄν τί δράσῃς, ἢ τί κερδάνῃς πλέον;
ΑΙ. πρὶν ἄν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης —
ΑΘ. τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν;
ΑΙ. μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ΑΘ. μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙ. χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘ. σὺ δ' οὖν, ἐπειδὴ τέρψις ὧδε σοι τὸ δρᾶν,
χρῶ χειρὶ, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙ. χωρῶ πρὸς ἔργον· σοὶ δὲ τοῦτ ἐφίεμαι,
τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
ΑΘ. ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση.
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος
ἢ δρᾶν ἀμείνων ηὑρέθη τὰ καίρια;
ΟΔ. ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν

99. ἄνδρες L. 102. ἦ vulg. Correxi ἦ.

103. κίναδος ἐξήρου μ'] Cf. Ph. 439. ἀναξίου μὲν φωτὸς (l. ἀνάξιον μὲν φῶτά σ') ἐξερήσομαι. ὅπου] Sub. ἐστί. Cf. 118. 890.

104. Ὀδυσσέα mss. Ὀδυσσῆ Pal. Sed cf. Eur. Rhes. 708. τὸν σὸν ἐνστάτην] Anglice who stood in your way.

108. ἑρκίου mss. ἑρκείου Elmsl.

112. ἐφίεμαι] Angl. I enjoin. Cf. 116.

114. ἥδε L. ὧδε plures mss. Recte, opinor.

115. ἐννοεῖς (γρ. ἐννέπεις ab S.) L.

116. τοῦτό σοι δ' ἐφίεμαι] τοῦτό σοι mss. τοῦτο· σοὶ — Tournier. Collocatio verborum non toleranda. Legerim σοὶ δὲ τοῦτ' ἐφίεμαι, aut σοὶ δ' ἐφίεμαι τόδε.

118. ὅση] Sub. ἐστί. Cf. 103.

119. ἄν σοι τἀνδρὸς mss. Qu. ἄν ποτ' ἀνδρὸς (aut ἄλλος).

120. εὑρέθη mss. ηὑρέθη Dind.

δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὀθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν·
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.
ΑΘ. τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς † αὐτὸς ἐς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακρῷ πλούτου βάθει·
ὡς ἦμαρ ἓν κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια, τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχίαλον,
εὖ μὲν πράσσοντά σε χαίρω·
πληγὴ δέ σ' ὅταν ζαμενὴς Διὸς ἢ
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι

122. *ἔμπης* mss. *ἔμπας* Heath. ex schol.

123. *ὅθ' οὕνεκ'* L., ut solet. *ἄτῃ — κακῇ*] Cf. O. C. 525. *κακᾷ μ' εὐνᾶς — ἐνέδησεν ἄτᾳ.*

128. *αὐτὸς*] Suspectum. Qu. *αὖθις.*

130. *μακροῦ* mss. Dedi *μακρῷ.*

131. *ἡμέρα* mss. Lege *ἦμαρ ἕν.* Cf. Eur. Fr. 420, 3. *μί' ἡμέρα | τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω.* Nisi *μί' ἡμέρα* reponendum. *κἀνάγει* mss. Qu. *κἀείρει,* aut *κἀναίρει,* aut *κἀξαίρει.* Cf. Tr. 1193. O. C. 264. El. 1461. 133. *κακούς*] *ἄνους* Morstadt.

135. *ἀγχιάλου* mss. Lege *ἀγχίαλον,* aut potius *ἀμφίαλον.* Quod constans insulae Ithacae epithetum est apud Homerum. Cf. Ph. 1464. *Λήμνου πέδον ἀμφίαλον.* Sed insulae Peparethi epithetum est *ἀγχίαλος* (*ἀμφίαλος*?) Hom. H. Apoll. 32.

136. *σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω* mss. Vix, opinor, tolerandus est accusativus post *ἐπιχαίρω.* Corrigendum, ni fallor, *εὖ μὲν πράσσοντά σε χαίρω.* Cf. Aesch. Sept. 815. *χαίρειν — πόλιν εὖ πράσσουσαν.*

137. *σὲ δ' ὅταν πληγὴ —* mss. Correxi *πληγὴ δέ σ' ὅταν —.* *Διὸς ἢ ζαμενὴς —* mss. Correxi *ζαμενὴς Διὸς ἢ —.*

139. [*καὶ πεφόβημαι*] Herw.

πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱπποµανῆ
λειµῶν' ἐπιβάντ' ὀλέσαι Δαναῶν
βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
κτείνοντ' αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθίρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
καὶ σφόδρα πείθει· περὶ γὰρ σοῦ νῦν
εὔπιστα λέγει, καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει µᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ µεγάλων ψυχῶν ἰεὶς
οὐκ ἂν ἁµάρτοις· κατὰ δ' ἄν τις ἐµοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι·
πρὸς γὰρ τὸν µέγαν ὁ φθόνος ἕρπει.
καίτοι σµικροὶ µεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦµα πέλονται·
µετὰ γὰρ µεγάλων βαιὸς ἄριστ' ἂν
καὶ µέγας ὀρθοῖθ' ὑπὸ µικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώµας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβεῖ.
χἠµεῖς οὐδὲν σθένοµεν πρὸς ταῦτ'

149. *πᾶσιν Ὀδυσσεὺς*] *πάντων* — L. *πάντων Ὀδυσεὺς* Nauck.

151. *εὔπειστα* L. pr. *εὔπιστα* m. ant. *πᾶς*] *πως* L. pr. erasa littera post ς. *ὁ κλύων τοῦ λέξαντος* mss. *ὁ κλύων* [*τοῦ λέξαντος*] Nauck.

154. *τῶν γὰρ µεγάλων ψυχῶν ἰεὶς* mss. Cf. Ant. 134. *τοξεύετ' ἀνδρὸς τοῦδε*. Sed ab *ἁµάρτοις* potius fortasse pendet genetivus *ψυχῶν*. Corrigendum forsan *τῶν µὲν µεγάλων γὰρ ψόγον ἰείς*. Non enim de *µεγαλοψύχοις* viris agitur, sed de *µεγάλοις*.

155. *ἁµάρτοις* L. pr. m. Linw. Bl. et Suid. v. *κλύει*. *ἁµάρτοι* cet. Cf. Tr. 2 sq. et Eur. Med. 188 sq.

157. *τὸν ἔχονθ'* mss. Correxi *τὸν µέγαν*.

163. *τούτων*] His de rebus. Suspectum. Qu. *ταύτας*.

165. *πρὸς ταῦτ'*] Connectendum cum *ἀπαλλάξασθαι*.

ἀπαμείψασθαι σοῖ χωρὶς, ἄναξ.
ἄλλοτε γὰρ δὴ, σὸν ὅτ' ὄμμ' ἀπέδραν,
παταγοῦσιν ἅπερ πτηνῶν ἀγέλαι,
μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες
τάχ' ἂν ἐξαίφνης, εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.

στροφή.

ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις —
ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς —
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελείας,
ἤ πού τινος νίκας ἀκαρπώτου χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσ', ἀδώροις εἴτ' ἐλαφαβολίαις,
ἢ χαλκοθώραξ σοί τιν' Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῖ δορὸς ἐννυχίοις
μαχαναῖς ἐτίσατο λώβαν.

ἀντιστροφή.

οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ,
παῖ Τελαμῶνος, ἔβας
τόσσον ἐν ποίμναις πίτνων·

166. ἀπαλέξασθαι mss. Correxi ἀπαμείψασθαι.

167. ἀλλ' ὅτε γὰρ τὸ σὸν ὄμμ' ἀπέδραν mss. Correxi ἄλλοτε γὰρ δὴ, σὸν ὅτ' ὄμμ' ἀπέδραν. τὸ σὸν ὄμμ' ἀπέδραν] Cf. Dem. p. 567 fin. οὐκ ἀπέδρα τὴν στρατείαν.

168. ἅπερ L. pr. ἅτε corr. et al. Cf. O. R. 176. ἅπερ εὔπτερον ὄρνιν.

169. μέγαν αἰγυπιὸν] μέγαν αἰγυπιὸν (δ') Dawes.

172. Ταυροπόλα mss. Qu. Ταυροπόλος, ut in Eur. Iph. T. 1456.

173. ὦ μεγάλα φάτις] Cf. 226. ὁ μέγας μῦθος.

176. ἤ που recte mss. ἦ που Lobeck. Wund. Linw. ἀκάρπωτος mss. Dedi ἀκαρπώτου. Redde, propter victoriae alicujus fructum non pensum. V. schol. Conferri potest Eur. Hipp. 147. ἀνίερος (ἄκληρος?) ἀθύτων πελάνων.

178. ψευσθεῖσα δώροις mss. ψευσθεῖσ', ἀδώροις Musgr. ἐλαφηβολίαις mss. ἐλαφαβολίαις Dind. ἐλαφαβολίας Nauck.

179. ἤ (ἦ pr.) τιν' L. ἦντιν Johnson. Dind. σοί τιν' — Reisk. Wund. 184. ἐν ποίμναις] Qu. ἐς ποίμνας. Cf. 1061.

ἦκοι γὰρ ἂν θεία νόσος, ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν·
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μίθους οἱ μεγάλοι βασιλῆς
ὅ τ' ἐξ ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μηκέτ' ὦναξ, ὦδ' ἐφάλοις κλισίαις
ἐμμένων κακὰν φάτιν ἄρῃ.

ἐπῳδός.

ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
στηρίζει ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ
ἄταν οὐρανίαν φλέγων· ἐχθρῶν δ' ὕβρις
ἀτάρβητος ὁρμᾶται
ἐν εὐανέμοις βάσσαις,
ἁπάντων καχαζόντων
γλώσσαις βαρυάλγητα·
ἐμοὶ δ' ἄχος ἔστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,

188. *κλέπτουσι*] Qu. *πλάττουσι*. *βασιλῆς* L. pr. *βασιλεῖς* rec.

189. *ἢ τᾶς ἀσώτου* — mss. *χὠ τᾶς ἀσώτου* — Morstadt. Nauck. Correxi *ὅ τ' ἐξ ἀσώτου* —. Cf. 201. *Σισυφίδας* Hart. Muff.

190. *μὴ μή μ' ἄναξ ἔθ'* mss. *μὴ μηκέτ', ὦναξ* Morstadt. Nauck. *μὴ 'μοί γ' ἔτ'* aut *μὴ μηκέτ' ὦναξ* Bl.

191. *ὅμμ' ἔχων* mss. *ἐμμένων* solerter Reisk. Quae correctio certissima mihi videtur.

192. *μακραίωνι* mss. Dind. *μακραίων* Nev. Muff.

193. *ὅπου στηρίζει ποτὲ* —] Ubicumque tua sedes in hac certaminis cessatione fixa est. *ποτὲ* mss. *ποτὶ* Ritschl. suspectum Nauckio.

195. *ὦδ' ἀτάρβητα* vulg. *ἀτάρβητος* (ejecto *ὦδ'* ut apud Suid.) Dind. *ἀτάρβηθ'* Gleditsch. *ἀταρβῆτα* pr. m. *ἀτάρβητα* rec. L. *ἀταρβήτως* Suid. s. v. *ἀτάρβητος*, qui per *ἀνειμένως* explicat. Utramque lectionem novit Schol. *ὁρμᾶτ'* mss. *ὁρμᾶται* Tricl.

197. *πάντων κακχαζόντων* (aut *καγχ.*) mss. *ἁπάντων καχαζόντων* Dind. *πάντων* delet J. H. Schmidt.

198. *βαρυάλγητ'* mss. *βαρυαλγήτως* (i. e. 'cum gravi dolore eorum quos rident') Dind. Qu. *γλώσσαισιν ἀναλγήτως*.

199. *ἄχος* mss. *ἄλγος* Nauck. Cf. v. 195.

γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδῶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου·
νῦν γὰρ ὁ δεινός μέγας ὠμοκρατης
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.
ΧΟ. τί δ' ἐνήλλακται τῆς ἠρεμίας
νὺξ ἥδε βάρος,
παῖ τοῦ Φρυγίου Τελεύταντος;
λέγ', ἐπεὶ σὲ λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.

201. *γενεᾶς* mss. *γενεὰ* Reisk. Morstadt. Nauck. Qu. *γενεὰ* aut *γενέθλα*. Cf. Ant. 982. *ἃ δὲ σπέρμα μὲν ἀρχαιογώνων | ἄντασ'*(?) *Ἐρεχθειδᾶν*. *Ἐρεχθειδᾶν* L. *Ἐρεχθειδῶν Γ*. Dind. (ut in anapaestis). Cf. 189. *Σισυφιδᾶν*.

204. *ὁ μέγας* mss. *μέγας* Lob. Elmsl. Legendum forsan *ὁ δεινός τε καὶ ὠμοκρατής*. Facile enim in *μέγας* corrumpi poterat *τε καί*.

ὠμοκρατὴς] I. e. *ὠμῶς κρατῶν* (sternly commanding). Ajax *ὠμόθυμος* dicitur 885. et *ὠμόφρων* 931. Nonnulli parum probabiliter *ὠμοκρατὴς* ab *ὦμος* et *κράτος* derivant, ut sensus sit big-shouldered, broad-shouldered.

207. *ἐνήλλακται*] Anglice has received (by way of change). Cf. 1060. *νῦν δ' ἐνήλλαξεν θεὸς | τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν*. et v. *ἐναλλάξ*. Notabilis glossa est in schol. *ἀντὶ τῆς ἀηδοῦς φορᾶς*. et altera *ποῖον βάρος ἔλαβεν αὕτη ἡ νὺξ ἀπὸ τῆς προτέρας ἀηδίας*. Unde reponendum conjicias *πρόσθεν* (aut *δεινὸν*) *ἄηθες* (sc. *βάρος*), ut sensus loci sit, Quam diram et insolitam calamitatem accepit haec nox? Vix dubitari potest quin graviter corrupta sit codicum lectio, cujus emendatio certa nondum reperta est.

τῆς ἡμερίας mss. Pal. *τῆς ἠρεμίας* Thiersch. Jebb. Dind. (Correctio certa nequaquam, quum antithesis inter noctem et diem statui videatur.) *ἠρεμία* legitur Dem. 168, 15. Arist. Eth. N. II. 3. 5. etc. *ἠρεμεῖν* Hipp. Fract. 755. Plat. Gorg. 527 B. Xen. Eq. 7, 8. Quod si sincera est vulgata, subaudiendum erit *ὥρας*. Qu. *ἡμερινῆς* (sub. *ὥρας*).

209. *Φρυγίου* mss. Pal. *Φρυγίοιο* Jaeger. Dind. Nauck. *τελλεύταντος* (alt. *λ* a m. rec. inserto) L.

210. *δοριάλωτον* L. *δορυάλωτον* aut *δουριάλωτον* al. *δουριάλωτον* Br.

ΤΕ. πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη·
τοιαῦτ' ἂν ἴδοις σκηνῆς εἴσω
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

στροφή.

ΧΟ. οἷαν ἐδήλωσας ἀνέρος αἴθονος ἀγγελίαν ἄτλατον
οὐδὲ φερτὰν,
τῶν † μεγάλων Δαναῶν ὕπο κληζομέναν
τὰν ὁ μέγας μῦθος ἀέξει.
οἴμοι, φοβοῦμαι τὸ προσέρπον. περίφαντος ἀνὴρ
θανεῖται, παραπλάκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱπποκώμας
ΤΕ. ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἦλυθε ποίμνην·
ὧν τὰ μὲν εἴσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ.

214. *πάθος* (*β* et *ϱ* sup. a m. pr.) L.

215. *ἡμῖν* mss. *ἡμὶν* hic et alibi Br.

216. *νύκτερος*] I. q. *νύκτωρ*, noctu.

217. *σκηνῆς ἔνδον* mss. Qu. *σκηνῆς εἴσω. Ἔνδον*, ni fallor, semper aut fere semper adverbium est.

220. *ἐδήλωσας ἀνδρὸς* mss. *ἔδειξας ἀνέρος* Wunder. Pal. Cf. ad v. ant. 245. *αἴθονος* L. (*αἴθοπος* corr. a m. rec.). Dind. *αἴθωνος Γ.* Ald. *αἴθοπος* plerique mss. Epica forma, ut videtur, pro *αἴθωνος*. Cf. Eur. Rhes. 122. *αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.* Aesch. Sept. 448. *αἴθων — λῆμα.* Plat. Resp. VIII. 559 D. *αἴθωσι* (*αἴθοσι* plures mss.) *θηρσί. φευκτὰν* (*φερτὰν* ms. Pal.) mss. *φευκτὸν* Suid. s. v. *αἴθοπος*. Dedi *φερτάν*. Cf. Eur. Hec. 158. *δουλείας τᾶς οὐ τλατᾶς, τᾶς οὐ φερτᾶς.*

221. *μεγάλων*] Suspectum. Venit fortasse a vicino *μέγας* (222.).

222. *ὁ μέγας μῦθος*] Cf. 173. *ὦ μεγάλα φάτις.* 142.

223. *ὤιμοι* L. 225. *ἱππονόμους* mss. *ἱπποκώμας* Porson.

234. *ποίμναν* mss. *ποίμνην* Ellendt.

235. *τὴν μὲν ἔσω* mss. *τὰ μὲν εἴσω* Tricl. *σφάζ'* mss. Fort. *'σφαζ'* (sic).

δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥίπτει Θερίσας, τὸν δ' ὀρθὸν ἄνω
κίονι δήσας
μέγαν ἱππόδετον ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήματ', ἃ δαίμων,
οὐδεὶς ἀνδρῶν, ἐδίδαξεν.

ἀντιστροφή.

XO. ὥρα τιν' ἤδη κάρα καλύμμασι κρυψάμενον ποδοῖν
κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναΐ μεθεῖναι·
τοίας † ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν. πεφόβημαι λιθόλευστον ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυπείς, τὸν αἰσ' ἄτλατος ἴσχει.
TE. οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπῆς
ᾇξας ὀξὺς νότος ὡς λήγει,
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.
XO. ἀλλ', εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
TE. πότερα δ' ἂν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

244. *κοὐδεὶς* mss. Correxi *οὐδείς*. Cf. Aesch. Ag. 663. *ἡμᾶς — ἐξῃτήσατο | θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.*

245. *ἤδη* nonnulli mss. *ἤδη τοι* L *κρᾶτα* mss. *κάρα* Tricl.

250. *μεθεῖναι*] Sc. *ἑαυτὸν*, ut exponit schol. Anglice to set off, to start. Suspectum. *συθῆναι* parum probabiliter Herwerden, coll. Prom. 135.

251. *ἐρέσσουσιν* mss. Loquuntur ut nautae, sed corrigendum, ni fallor, *ἐρείδουσιν*. Idem suadet Nauck. Cf. Arist. Eq. 628. *κατὰ τῶν ἱππέων | κρημνοὺς ἐρείδων*. Ran. 914. *ἤρειδεν ὁρμαθοὺς ἂν μελῶν.*

254. *Ἄρῃ* L. *Ἄρην* plures mss.

257. *ἄτερ* mss. Qu. *ἄτ' ἐκ.* *στεροπᾶς* mss. *στεροπῆς* Dind.

ΧΟ. τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
ΤΕ. ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν.
ΧΟ. πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.
ΤΕ. ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἶχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ', ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
ΧΟ. ξύμφημι δή σοι καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκῃ. πῶς γὰρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;
ΤΕ. ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.
ΧΟ. τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
ΤΕ. ἅπαν μαθήσει τοὔργον ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ἦθον, ἄμφηκες λαβὼν
ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κακάς.
κἀγὼ 'πιπλήσσω καὶ λέγω, Τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλητος οὔθ' ὑπ' ἀγγέλων
κληθεὶς ἀφορμᾷ πεῖραν οὔτε του κλύων

268. *διπλάζον*] Qu. *διπλοῦν ὄν*. Persaepe apud Sophoclem occurrit *διπλοῦς*, nusquam alibi *διπλάζειν*.

269. *ἡμεῖς* mss. *δισσῶς* Kock. V. Add.

270. *πῶς*] *τί* conj. Nauck. *οὐ κάτοιδ'* mss. Qu. *οὐ γὰρ οἶδ'*.

271. *ἀνὴρ* mss.

272. *οἷσιν εἶχετ' ἐν κακοῖς*] Qu. *οἷς κακοῖσιν εἶχετο*. Sed cf. 1145. *ἡνίκ' ἐν κακῷ χειμῶνος εἶχετο*.

273. *φρονούντων* (*γρ. βλεπόντων* ab S.) L.

286. *ἄμφηκες*] An *ἀμφῆκες* (sic)? Cf. Homerica *εὐήκης* et *νεήκης*.

287. *ἐξόδους ἕρπειν κενάς* mss. Lege — *ἕρπειν κακάς*. Cf. 806. *ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν*.

289. *οὔθ'* — *οὔτε* — mss. Qu. *οὐδ'* — *οὐδὲ* —.

290. *ἀφορμᾶς* L. *ἐφορμᾶς* al. Lege *ἀφορμᾷ*. Cf. O. C. 1401. *οἷον ἄρ' ὁδοῦ τέλος* (*ὁδοῦ 'ς τέλος*?) *Ἄργους ἀφωρμήθημεν*. et ad Phil. 43. *ἐπὶ φορβῆς* (*φορβὴν*?) *νόστον ἐξελήλυθεν*.

σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί' ἀεὶ δ' ὑμνούμενα·
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω φράζειν πάθας·
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔερόν τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ' ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
ἠκίζεθ' ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ' ὑπάξας διὰ θυρῶν σκιᾷ τινι
λόγους ἀνέσπα, τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ' αὖ 'π' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
† ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσοιτ' ἰών.
κἄπειτ' ἐσάξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται.
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα 'θώϋξεν· ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρεισθεὶς ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον,

296. ἔσω mss. εἴσω Dind.

297. εὔκερων mss. εὔερον Schneid. Dind. Correctio necessaria.

301. ἀπᾶξας (sic) L. pr. m. ὑπαΐξας m. rec. ἀπάξας in lemmate schol. ἐπαΐξας aut ἀπαΐξας nonnulli mss.

304. ὅσην κατ' αὐτῶν ὕβριν — mss. Qu. ὅπως (aut οἷον) τάχ' αὐτῶν (aut αὐτὸν, et sic L. pr.), aut ὅπως ἐκείνων —. Sed cf. Fr. 339. ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείων ὕβριν —. ἐκτίσαιτ' mss. ἐκτίσοιτ' Musgr. Quam correctionem confirmat participium additum ἰών. Sed ne hoc quidem sanum videtur. Scripserat fortasse ἐργάσοιτ'. Cf. Trag. adesp. 409. ὕβρις τάδ' — ἐξεργάζεται.

305. ἀπάξαις L. pr. ἀπαΐξας sec. m. ἐπάξας aut ἐπαΐξας plures mss.

306. ξὺν L. σὺν nonnulli mss.

308. θώϋξεν (sic) L.

309. ἐρειφθεὶς] ἐρεφθεὶς L. pr. γρ. ἐρεισθεὶς ab S.

311. τὸν μὲν ἧστο πλεῖστον —] Mira articuli ab adjectivo ejus sejunctio. Tacent plerique editores. Haec scripsisse poetam incredibile mihi videtur.

ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ' ἐν τῷ πράγματος κυροῖ ποτέ.
κἀγὼ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ·
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἦγεν ἐκχέαι·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε ταῦρος ὡς βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνὴρ ἄποτος ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών,
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακὸν,
τοιαῦτα γάρ πως καὶ λέγει κωδύρεται.
ἀλλ', ὦ φίλοι, τούτων γὰρ εἵνεκ' ἐστάλην,

312. *τὰ δείν' ἐπηπείλησ' ἔπη*] Fort. *δείν' ἄσσ' —*, sed cf. 650. *ὃς τὰ δείν' ἐκαρτέρουν τότε.* 1226. Tr. 476. Ph. 327. Ant. 408. Eur. Or. 376. Ph. 185. Arist. Ran. 796.

314. *ἐν τῷ πράγματος*] Cf. Tr. 375. *ποῦ ποτ' εἰμὶ πράγματος;*

317. *οἰμωγὰς λυγρὰς* mss. Qu. *οἰμωγὰς πικρὰς*, ut in Ph. 190. O. C. 1610. *φθόγγον πικρόν.* Eur. Tro. 1227. *πικρὸν ὄδυρμα.*

319. *βαρυψύχου*] *βραχυψύχου* Naber. Schol. *μικροψύχου.*

320. *ἐξηγεῖτ' ἔχειν* mss. Correxi *ἦγεν* (ducebat, existimabat, Angl. he reckoned) *ἐκχέαι.* Cf. Ant. 34 *τὸ πρᾶγμ' ἄγειν οὐχ ὡς παρ' οὐδέν.* O. R. 784. Eur. Suppl. 773. *ᾄδου μολπὰς ἐκχέω δακρυρρόους.* Aut *ἦγεν ἰέναι.* Cf. 629. *γόον — ἥσει.* 851. *ἥσει — κωκυτόν.* Compositum *ἐξηγεῖσθαι* hoc sensu nusquam legitur.

328. *τούτων γὰρ οὕνεκ'* mss. In hujusmodi locis constanter formam *εἵνεκα* reposui. Dindorfius forma Ionica *εἵνεκα* neminem Atticorum usum esse contendit, "abusu" autem quodam factum esse ut *οὕνεκα* etiam pro *ἕνεκα* diceretur. Apud Sophoclem neque *ἕνεκα* neque *εἵνεκα* alibi legitur. Apud Aeschylum *παντὸς εἵνεκα* praebent mss. in Suppl. 188. Graviter, opinor, errant qui *οὕνεκα* i. q. *ἕνεκα* aut *εἵνεκα* valere arbitrantur. Alia hujus praepositionis forma est *ἕνεκεν*, qua non utuntur Tragici. Conjunctio *οὕνεκα* ex *οὗ ἕνεκα* composita est et significat quod, quia, i. q. *ὅτι*, Anglice that, non propter. Similiter *ὁθούνεκα* ex *οὗ* et *ἕνεκα* compositum est.

ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
ΧΟ. Τέκμησσα, δεινὰ, παῖ Τελεύταντος, λέγεις,
ἡμῖν τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.
ΑΙ. ἰώ μοί μοι.
ΤΕ. τάχ', ὡς ἔοικε, μᾶλλον· ἦ οὐκ ἠκούσατε
Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;
ΑΙ. ἰώ μοί μοι.
ΧΟ. ἀνὴρ ἔοικεν ἢ νοσεῖν ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι πάλιν.
ΑΙ. ἰὼ παῖ παῖ.
ΤΕ. ὤμοι τάλαιν'· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.
ΑΙ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἦ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.
ΧΟ. ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀς ἐμὲ βλέψας λάβοι.
ΤΕ. ἰδοὺ, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδέ τ' ἔργα, καὐτὸς ὡς ἔχων κυρεῖ.

στροφὴ α'.

ΑΙ. ἰὼ φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων
μόνοι δὴ 'μμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλοῦται.
ΧΟ. οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.

330. *φίλοι* mss. et schol. *λόγοις* Dind. Pal. ex Stobaeo Fl. 113, 8. Qu. *λόγοις — φίλων*. 337. 344. *ἀνὴρ* mss.

338. *παρών* mss. Suspectum Nauckio. *φρονῶν* Metzger. Qu. *πάλιν*, aut *φρένας*.

345. *κἀπ' ἐμοὶ βλέψας* mss. *κἀς ἐμὲ* — Herwerden.

347. *τὰ τοῦδε πράγη* mss. Qu. *τὰ τοῦδέ τ' ἔργα*, quod facile in codicum lectionem transire poterat.

348. *μόνοι ἐμῶν φίλων* mss. Qu. *μόνοι τῶν φίλων*.

350. *τ'* mss. *ἔτ'* Herm. Qu. *μόνοι δὴ 'μμένοντες*.

353. *κυκλεῖται* mss. Dedi *κυκλοῦται* (circumdat). Cf. Aesch. Pers. 458. *ἀμφὶ δὲ κυκλοῦντο πᾶσαν νῆσον*. Sept. 121. *Ἀργεῖοι γὰρ πόλισμα Κάδμου κυκλοῦνται*.

354. *ἔοικας* mss. Qu. *ἔοικεν*, nisi mox pro *ἔχει* corrigendum *ἔχεις* (v. schol.). Ipsum Ajacem alloquitur 361.

δηλοῖ δὲ τοἴργον ὡς ἀφροντίστως ἔχει.

ἀντιστροφὴ α'.

AI. ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐνέβας ἑλίσσων πλάταν,
σέ τοι σέ τοι μόνον δέδορκα πημονὰν ἐπαρκέσοντ'.
ἀλλά με συνδάϊξον.

XO. εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

στροφὴ β'.

AI. ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοισι θηρσὶ δεινὸν χέρας;
οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.

TE. μὴ, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.

AI. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖς πόδα;
αἰαῖ αἰαῖ.

TE. ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.

AI. ὦ δύσμορος, ὃς χερὶ μὲν μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπολίοις
ἐρεμνὸν αἷμ' ἔδευσα.

XO. τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦτά γ' ὥστ' οὐχ ὧδ' ἔχειν.

355. ἀφροντίστως] ἀνηκέστως conj. Nauck.

357. ἐπέβας mss. Qu. ἐνέβας (conscendisti, Angl. didst embark). ἑλίσσων] Qu. ἐρέσσων. Sed cf. Homericum ἀμφιέλισσαι.

359. ἅλίαν mss. ἅλιον Herm.

360. ποιμένων mss. πημονὰν Reisk. Wund. Bl. τῶν ἐμῶν Linwood. Qu. τῶν φίλων (cf. 349.) aut δὴ βροτῶν. ἐπαρκέσοντ'] Aversurum. Cf. Hom. Il. 2, 873. οὐδέ τί οἱ τότ' ἐπήρκεσε λυγρὸν ὄλεθρον. Ἐπαρκεῖν plerumque significat opitulari. 367. ὤιμοι L.

369. οὐκ ἐκτός; οὐκ ἄψορρον —; mss. Cf. ad v. ant. 384? ἐκνεμεῖ mss. Lege ἐκνεμεῖς. Cf. O. R. 468. φυγᾷ πόδα νωμᾶν. Ph. 717. πόδ' ἐνώμα. Qu. ἐξαρεῖ aut ἐξαρεῖς.

370. αἲ αἲ αἲ L. αἰ αἰ αἰ αἰ al. αἰαῖ αἰαῖ Dind.

372. ὦ] ὦ L. χερσὶ mss. χερὶ Herm.

375. κλυτοῖς] I. e. βληχωμένοις. Anglice bleating.

378. ταῦθ' ὅπως οὐχ' ὧδ' ἔχειν mss. Correxi ταῦτά γ' ὥστ' οὐχ ὧδ' ἔχειν.

ἀντιστροφὴ β'.

ΑΙ. ἰὼ πάντα δρῶν ἁπάντων τ' ἀεὶ
κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωϑ' ὑφ' ἡδονῆς γελᾷς.
ΤΕ. ξύν τοι ϑεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
ΑΙ. ἴδοιμι δή νιν καίπερ ὢδ' ἀτώμενος.
ἰὼ μοί μοι.
ΧΟ. μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;
ΑΙ. ὦ Ζεῦ, προγόνων προπάτωρ,
πῶς ἂν τὸν αἰμυλώτατον,
ἐχϑρὸν ἄλημα, τούς τε διϲϲάρχας ὀλέϲϲας βαϲιλῆς
τέλος ϑάνοιμι καὐτός;
ΤΕ. ὅταν κατεύχῃ ταῦϑ', ὁμοῦ κἀμοὶ ϑανεῖν
εὔχου· τί γὰρ δεῖ ζῆν με σοῦ τεϑνηκότος;

στροφὴ γ'.

ΑΙ. ἰὼ σκότος, ἐμὸν φάος,
ἕρεβος ὦ φαεννότατον ὡς ἐμοί,
ἔλεσϑ' ἔλεσϑέ μ' οἰκήτορα,
ἔλεσϑέ μ'· οὔτε γὰρ ϑεῶν τινος οὔϑ' ἁμερίων
ἔτ' ἄξιον βλέπειν τιν' εἰς ὄναϲιν ἀνϑρώπων.

379. *πάνϑ' ὁρῶν* mss. (Cf. 836. O. R. 1213. Ant. 184. O. C. 43. 1453. Fr. 280, 2.) *πάντα δρῶν* Wakef. Recte, opinor. Cf. v. *παντοῦργος* (445.) et *πανοῦργος*. τ' L. a m. rec. in pluribus mss. omissum.

380. *Λαερτίου* L. aliique plures et Suid. s. v. *ἄλημα*.

382. *ἄγεις* mss. *γελᾷς* Nauck. Recte opinor. Cf. Ant. 551. *γέλωτ' ἐν σοὶ γελῶ*. 383. *ξὺν τῷ ϑεῷ* mss. *ξύν τοι ϑεῷ* Schneid. Recte.

384. *ἴδοιμί νιν* mss. et Suidas. *ἴδοιμι μήν νιν* Lud. Dind. Qu. *ἴδοιμ' ὅμως νιν*, aut *ἴδοιμι δή νιν*, aut *ἴδοιμ' ἐγώ νιν*. Cf. ad 369.

387. *προπάτωρ* aut *πρόπατορ* mss. *πάτερ* T.

388. Qu. *τὸν αἰμύλον τε κἄχϑιστον ἄλημα*.

390. *ὀλέσας* mss. *ὀλέσσας* Turn.

396. *ὡς ἐμοὶ*] Cf. Ant. 1161. *Κρέων γὰρ ἦν ζηλωτὸς ὡς ἐμοί* (*οὐδείς*?) *ποτε*.

397. *ἔλεσθέ μ' ἔλεσθέ μ'* L. *ἔλεσθέ μ' ἔλεσϑ'* al. *ἔλεσϑ' ἔλεσθέ μ'* Elmsl.

400. *ἄξιος* mss. Corrigendum proculdubio *ἄξιον*, quod legisse videtur schol. Cf. Arist. Ach. 8. *ἄξιον γὰρ Ἑλλάδι*. Eq. 616. *βλέπειν*

ἀλλά μ' ἁ Διὸς
ἀλκίμα Θεὸς
ὀλέθρι' αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μένω;
εἰ τὰ μὲν φθίνει, †φίλοι, τίσις δ' 405
ὁμοῦ πέλει, μώραις δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.
ΤΕ. ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον 410
φωνεῖν, ἃ πρόσθεν †οὗτος οὐκ ἔτλη ποτ' ἄν.
ἀντιστροφὴ γ'.
ΑΙ. ἰὼ πόροι ἁλίρροθοι
πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
κατείχετ' ἀμφὶ Τροίαν χρόνον· ἀλλ' οὐκ ἔτι γ', οὐκ 415
ἔτ' ἀμπνοὰς ἔχοντα· τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι
γείτονες ῥοαὶ,
εὔφρονες Ἀργείοις, 420
οὐκέτ' ἄνδρα μὴ
τόνδ' ἴδητ', ἔπος

τιν' εἰς ὄνασιν] Cf. 514. ἐμοὶ γὰρ οὐκέτ' ἐστὶν εἰς ὅ τι βλέπω. El. 954. 959. Ant. 923. τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι | βλέπειν; εἰς ὄνησιν mss. εἰς ὄνασιν Br.

402. ὀλέθριον mss. οὔλιον Wund. ὀλέθρι' Dind.

403. φύγῃ (γρ. τραπῇ ab S.) L.

404. μενῶ vulg. μὲν ὦ L. pr. Lege μένω.

405. φίλοι] Suspectum, quum solam Tecmessam alloquatur Ajax. Qu. πάλαι. Qu. εἰ τὰ μὲν (aut τῶν) φίλων φθίνει. τοῖσδ' ὁμοῦ πέλας mss. τίσις δ' ὁμοῦ πέλει Dind. (τίσις etiam Lobeck. τίσις (vindicta) legitur O. C. 228. 1329. Fr. 677.) Πέλας glossema videtur esse ad ὁμοῦ adscriptum. 407. μωραῖς mss. μώραις Elmsl.

411. οὗτος οὐκ ἔτλη ποτ' ἄν mss. οὐκ ἔτλη ποτ' ἂν κλύειν Naber. Qu. οὐκ ἔτλη ποτ' ἂν χανεῖν (λακεῖν, aut λέγειν).

412. ἰὼ addidit Br.

413. νέμος ἐπάκτιον mss. Qu. νομοὶ ἐπάκτιοι, aut νάπος ἐπάκτιον. 417. ὦ] ἰὼ L.

ἐξερῶ μέγ', οἷον οὔτινα
Τροία στρατοῦ δέρχθη χθονὸς μολόντ' ἀπὸ
Ἑλλανίδος· τανῦν δ' ἄτιμος
ὧδε πρόκειμαι.
ΧΟ. οὗτοι σ' ἀπείργειν οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω κακοῖς τοιοῖσδε συμπεπτωκότα.
ΑΙ. αἰαῖ· τίς ἄν ποτ' ᾧεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
τὰ πρῶτα .† καλλιστεῖ' ἀριστεύσας στρατοῦ
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν ἐς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χερσὶν ἀρκέσας ἐμαῖς,
ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ·
εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι

424. ἐξερέω mss. ἐξερῶ Porson.

428. οὔθ' mss. οὐδ' Elmsl.

431. ξυνοίσειν mss. Schol. συνῳδὸν ἔσεσθαι. Conferunt El. 1463. νοῦν ἔσχον ὥστε συμφέρειν τοῖς κρείσσοσιν. Cujus loci paullo diversa est ratio. Sensui bene conveniret ξυνᾴδειν. Cf. O. R. 1113. ἔν τε γὰρ μακρῷ | γήρᾳ (χρόνῳ?) ξυνᾴδει τῷδε τἀνδρὶ σύμμετρος. Phil. 92 C. οὗτος — ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; Plat. Prot. 333 A. οὐ γὰρ συνᾴδουσιν ἀλλήλοις. Sed in hujusmodi locis aoristus potius quam futurum adhiberi solet. Cf. Ph. 536. οἶμαι γὰρ οὐδ' ἂν — ἄλλον — τλῆναι τάδε. O. C. 999. οὐδὲ τὴν πατρὸς | ψυχὴν ἂν οἶμαι — ἀντειπεῖν. Arist. Th. 524. τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον — οὐκ ἂν ᾠόμην ἐν ἡμῖν οὐδὲ τολμῆσαί ποτ' ἄν.

435. τὰ πρῶτα — ἀριστεύσας στρατοῦ] Cf. 1300. στρατοῦ τὰ πρῶτ' ἀριστεύσας. 443. 464. καλλιστεῖ' mss. Qu. καὶ τὰ πλεῖστ'.

438. Τροίας ἐπελθὼν mss. τοῦτον παρελθὼν Herw. Qu. τοῦτον τότ' ἐλθών. Τροίας glossema esse suspicor.

439. χειρὸς ἀρκέσας ἐμῆς mss. Qu. χερσὶν ἀρκέσας (aut ἐνδείξας) ἐμαῖς. ἀρκέσας] Schol. δείξας, βοηθήσας, ποιήσας. Qu. ἀποδείξας.

κρίνειν ἔμελλε κράτος ἀριστείας τινὶ,
οὐκ ἄν τις αὖτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
νῦν δ' αὖτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
ἔπρασαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
κεἰ μὴ τό τ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης μ' ἀπεῖρξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάματος θεὰ
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευθύνοντ' ἐμὴν
ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς·
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ †ἑκόντος, εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι τἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρὰν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατὸς,
ἔχθει δὲ Τροία πᾶσα καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας
δισσούς τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν

443. *κρίνειν ἔμελλε*] Qu. *κρινεῖν ἔμελλε*. Sed cf. O. R. 1385. *ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν* (*τούσδ' εἰσορᾶν*?). *ἀριστείας*] Qu. *ἀριστείων*. 446. *ἔπραξαν* mss. Qu. *ἔπρασαν*.

447. *τόδ' ὄμμα καὶ φρένες* mss. Lege *τό τ' ὄμμα καὶ φρένες*.

448. *γνώμης ἀπῆξαν* mss. Lege *γνώμης μ' ἀπεῖρξαν*. Cf. 50. *ἐγώ σφ' ἀπείργω δυσφόρους*(?) *ἐπ' ὄμμασι | γνώμας*(?) *βαλοῦσα τῆς ἀνηκέστου χαρᾶς*. 452.

450. *ἀδάμαστος* mss. *ἀδάματος* Elmsl.

451. *ἐπευθύνοντ'* L. pr. *ἐπεντύνοντ'* L. corr. *ἐπεντύνοντ'* Lb. Cf. 72. *χέρας | δεσμοῖς ἀπευθύνοντα* (retorquentem).

455. *οὐχ ἑκόντος*] *γρ. οὐκ ἔχοντος* in schol. *οὐ κιχόντος* Naber. Qu. *οὐκ ἐῶντος* aut *οὐ θέλοντος*.

456. *γ' ἄν* mss. *τἂν* Elmsl.

459. Hunc versum manifesto spurium esse judicat Herwerden.

461. *μόνους τ'* mss. *προδούς τ'* sagaciter F. W. Schmidt., coll. 588. *μὴ προδοὺς ἡμᾶς γένῃ*. O. C. 822. 1633. Ph. 757. Correxi *δισσούς τ'*. Ita etiam Morstadt.

γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ;
[ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν]
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν πολλοῖς μόνος
καὶ δρῶν τι χρηστὸν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ
μὴ τὴν φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρήζειν βίου
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχοι
προσθεῖσ' ἂν ἢ ἀναθεῖσα πλήν γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

ΧΟ. οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι τάσδε φροντίδας μεθείς.

ΤΕ. ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς

465. *μέγαν*] Suspectum Nauckio. Versus, ni fallor, spurius.

467. *ξυμπεσὼν* L. *ἐμπεσὼν Γ.* Fortasse recte. *μόνος μόνοις*] *πολλοῖς μόνος* Morstadt. Nauck. Recte, opinor.

469. *εὐφραίναιμι* L.

472. *μή τοι φύσιν γ'* mss. Lege *μὴ τὴν φύσιν γ'*.

475. *ἔχει* mss. Qu. *ἔχοι*. Cf. Bacchyl. 19, 4. *τὸ — παρ' ἄμάρ τε καὶ νύκτα — ἐὸν ἰάπτεται κέαρ.* Eur. Her. 611. *παρὰ δ' ἄλλαν ἄλλα μοῖρα διώκει* (*βροτούς*).

476. *προσθεῖσα κἀναθεῖσα* mss. Schol. *προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ* (*τὸ?*) *θανεῖν*. Dedi *προσθεῖσ' ἂν ἢ ἀναθεῖσα. τοῦ γε κατθανεῖν* mss. Qu. *πλήν γε κατθανεῖν*, aut *προσθεῖσα κἀναθεῖσ' ἀεὶ τὸ κατθανεῖν*.

477. Cf. 1170. *τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς | οὐκ ἂν πριαίμην.*

εἴπερ τινὸς σθένοντος ἐν πόλει Φρυγῶν,
νῦν δ' εἰμὶ δούλη· θεοῖς γὰρ ὧδ' ἔδοξέ που·
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς
εὐνῆς τε τῆς σῆς, ἦ συνηλλάχθης ἐμοὶ,
μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἐφεὶς τινι.
ἦν γὰρ θάνῃς σὺ καὶ τελευτήσας μ' ἀφῇς
μόνην, νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις μ' ἰάπτων, Ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει.
τοιαῦτ' ἐρεῖ τις· κἀμὲ μὲν δαίμων ἑλᾷ,
σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῷ
γήρᾳ προλείπων, αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις

488. *σθένοντος ἐν πλούτῳ* mss. *σθένοντος ἐν πόλει* optime Naber. Cf. O. C. 456. *κεἴ τις ἄλλος ἐν πόλει σθένει.* Idem ipse proposueram. Dicendum fuisset *σθένοντος πλούτῳ*, non *ἐν πλούτῳ*. Qu. *εἴπερ τις εὖ κλύοντος —.*

491. *τὸ σὸν λέχος*] Ut uxor tua. Cf. 493. Tr. 27. *λέχος — Ἡρακλεῖ κριτὸν | ξυστᾶσα.*

495. *ἐφεὶς* mss. *ἀφεὶς* Palmer. Fortasse recte. Cf. 496. Redde Anglice having made me over (consigned, committed me). Cf. 1297. *ἐφῆκεν (αὐτὸν) ἑλλοῖς ἰχθύσιν διαφθοράν.*

496. *εἰ* mss. *ἦν* al. *ἦ* Both. Wund. Dind. *θάνῃς* L. corr. *θάνεις* pr. *τελευτήσεις* L. pr. *τελευτήσης* sec. *ἀφῇς* mss. *μ' ἀφῇς* Br.

497. *ταύτῃ* mss. Suspectum, quum mox sequatur *τῇ τόθ' ἡμέρᾳ*. Qu. — *μόνην, κτλ.* *τῇ τόθ' ἡμέρᾳ*] Qu. *τῇδε θἡμέρᾳ.*

501. *λόγοις ἰάπτων* vulg. Lege *λόγοισι βάλλων*, aut *λόγοις μ' ἰάπτων.* *ἰάπτων* (γρ. *ἀτίζων* ab S.) L.

503. *οἵας λατρείας*] Nonne *οἵαν λατρείαν*? Cf. Tr. 830. *ἐπίπονον λατρείαν.*

θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν·
οἴκτειρε δ', ὦναξ, παῖδα τὸν σὸν, εἰ νέας
τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος
ὑπ' ὀρφανιστῶν μὴ φίλων, ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ', ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκέτ' ἔστιν εἰς ὅ τι βλέπω
πλὴν σοῦ· σὺ γάρ μου πατρίδ' ἤστωσας δόρει,
καὶ μητέρ' ἄλλη μοῖρα τὸν φύσαντά τε
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς,
τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι.
ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που 'πάθε·
[χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.]
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἂν οὗτος εὐγενὴς ἀνήρ.

ΧΟ. Αἴας, ἔχειν σ' ἂν οἰκτον ὡς κἀγὼ φρενὶ
θέλοιμ' ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.

ΑΙ. καὶ κόρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.

ΤΕ. ἀλλ', ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.

ΑΙ. κόμιζέ νύν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.

511. σοῦ διοίσεται μόνος] Cf. O. C. 1250. ἀνδρῶν γε μοῦνος. Ph. 183. κεῖται μοῦνος ἀπ' ἄλλων. διοίσεται] Schol. βιώσεται. Quod fortasse reponendum.

515. σὺ] σοὶ L. μοι] Qu. μου. πατρίδ' ἤστωσας] Qu. πατρίδ' ἐδῄωσας. δορὶ mss. δόρει Dind.

516. ἄλλη mss. ὠμὴ Nauck. Qu. αἰνή (e. i. κακή). Cf. 929. κακὰν μοῖραν. El. 1093. μοίρᾳ οὐκ ἐν ἐσθλᾷ βεβῶσαν. O. R. 887. κακὰ — μοῖρα. μοῖρα — καθεῖλεν] Cf. O. C. 1690. κατά με φόνιος ἀΐδας ἕλοι πατρὶ ξυνθανεῖν.

521. εἰ — πάθῃ L. εἰ — πάθοι plures mss. εἴ τι προύπαθεν Badham. Qu. ἦν — πάθῃ, aut εἴ τί που 'παθε. Cf. ad O. R. 198.

522. Versus suspectus Dobraeo.

524. γένοιτ' ἔθ' L. γένοιτό ποθ' plerique mss. γένοιθ' Γ. γένοιτ' ἂν nonnulli Suidae libri s. v. μνῆστις. Quod praeferendum videtur.

527. καὶ κάρτ'] Vel maxime. Ut καὶ μάλα.

530. νῦν L.

ΤΕ. καὶ μὴν φόβῳ σῷ γ' αὐτὸν ἐξερρυσάμην.
ΑΙ. ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
ΤΕ. μὴ σοί γέ που δύστηνος ἀντήσας θάνοι.
ΑΙ. πρέπον γε τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.
ΤΕ. ἀλλ' οὖν ἐγὼ 'φύλαξα τοῦτό γ' ἀρκέσαι
ΑΙ. ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου.
ΤΕ. τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;
ΑΙ. δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ' ἰδεῖν.
ΤΕ. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
ΑΙ. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
ΤΕ. ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτόν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙ. εὔδοντι φωνεῖς ἢ λελειμμένῳ λόγου;
ΤΕ. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.
ΑΙ. αἶρ' αὐτὸν αἶρε δεῦρο· ταρβήσει γὰρ οὔ
νεοσφαγῆ μου τόνδε προσλεύσσων φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς γε πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν κἀξομοιῶσαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,

531. *φόβοισί γ'* mss. *φοβηθεῖσ'* Naber. Correxi jamdudum *φόβῳ σῷ γ'*. Conferri non debent O. R. 585. *ἄρχειν — σὺν φόβοισι.* 917. *ἀλλ' ἐστὶ τοῦ λέγοντος, ἢν φόβους λέγῃ.* *ἐξελυσάμην* mss. Dind. *ἐξερρυσάμην* Herm. Nauck. Recte.

